Durch die beiden folgenden Urkunden werden die Verhältnisse des byzantinischen Reiches zu Serbien im vierzehnten Jahrhunderte

---

δεδώκαμεν ἑαυτούς, καὶ οὐδὲ οὕτως ἴσχυσας ἡμᾶς τῆς πονηρᾶς δουλείας ἀποστῆσαι· βαρβάρους ἐπέστησας ἡμῖν, θηρίου παντὸς ἀπηνεστέρους καὶ ὠμοτέρους καὶ πάντα τὰ ὡραῖα κατέφαγον τῆς οἰκουμένης, τὰ ἔμπροσθεν αὐτῶν παράδεισος τρυφῆς καὶ τὰ ὄπισθεν αὐτῶν πεδίον ἀφανισμοῦ· αἱ πόλεις ἡμῶν πυρίκαυστοι γεγόνασιν· ὅλα, στρατόπεδα ἅμα στρατηγοῖς καὶ ὅπλοις καὶ ἵπποις χερσὶ παρεδόθησαν πολεμίων, οἱ πρεσβύτεροι ἡμῶν ἐν ῥομφαίᾳ ἔπεσον καὶ οἱ νεανίσκοι ἡμῶν ἐν μαχαίρᾳ· ἐγεννήθημεν ὡς τερέβινθος ἀποβεβληκυῖα αὐτῆς τὰ φύλλα, ἢ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ ἢ ἄμπελος πεπατημένη μὴ ὑπάρχοντος βότρυος καὶ οὐδὲν ἀπωνάμεθα τῆς τοσαύτης κακοπραγίας, ἀλλ' ἐνεμείναμεν τῇ κακίᾳ πρὸς πάντα ἀναισθητοῦντες.

Δευτέραν ἐπήγαγες ἡμῖν πληγὴν τὸν πόλεμον τῶν ὁμοφύλων, ὃς μέχρις ὀστέων καὶ μυελῶν καθήψατο ἡμῶν καὶ ὡς μονιὸς ἄγριος κατενεμήσατο ἡμᾶς καὶ οὐδὲ οὕτω γεγόναμεν βελτίους· ἀλλ', εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, πρὸς χαλεπωτέραν νόσον κατεχρησάμεθα τῷ φαρμάκῳ καὶ πρὸς κακίαν πᾶσαν ἐχωρήσαμεν ἀναισχύντως, ἀδεῶς ἐπιορκοῦντες καὶ ψευδόμενοι καὶ δόλους ῥάπτοντες κατὰ τῶν ὁμοφύλων καὶ ταῖς τῶν οἰκειωτάτων χαίροντες σφαγαῖς καὶ πάντα τολμῶντες ῥᾳδίως καὶ τὰ ἀτόλμητα· καὶ ἐῶμεν χρημάτων ἁρπαγὰς καὶ δημεύσεις καὶ δεσμωτήρια καὶ ἀπανθρώπους αἰκίας, ἐν αἷς πολλοὶ τῶν στρεβλουμένων ἀπηλλάγησαν καὶ τοῦ ζῆν. Μετὰ τούτων καὶ πληγαῖς ἑτέραις ἐξέτριψας ἡμᾶς, ἄρτου λιμῷ καὶ τῶν ἀναγκαίων ἀπορίᾳ συγχωρήσας ταλαιπωρεῖσθαι, ἵνα κἂν οὕτω συνῶμεν καὶ ζητήσωμεν τὴν αἰτίαν τῆς τιμωρίας καὶ στραφέντες ἀπολίπωμεν τὴν κακίαν καὶ σοὶ τῷ δυναμένῳ ῥύσασθαι προσδραμόντες εὕρωμεν λύσιν τῶν συνεχόντων. Ἐπὶ πᾶσι τούτοις κατὰ διαφόρους καιροὺς καὶ χρόνους, ὥσπερ τοῖς Αἰγυπτίοις οὐ τῶν πρωτοτόκων μόνον τὴν θραῦσιν ἐπήγαγες ἡμῖν, ἀλλ' οἰκίας ὅλας ἐξεκένωσας τῷ θανάτῳ καὶ θρηνῶν καὶ ὀδυρμῶν ἐνέπλησας ἡμᾶς καὶ οὐδὲ οὕτως ἐδυνήθημεν ἀναβλέψαι· καὶ νῦν κατηφείας μὲν ἐστὶν τὰ πάντα μεστὰ καὶ οὐκ ἔστιν εὑρεῖν οἰκίαν μὴ κτυπομένην, (κοπτομένην cod. alter) μηδὲ θρηνοῦσαν, ἀλλὰ μελανειμονοῦντες οἱ περιλειφθέντες περιερχόμεθα καὶ τὴν τομὴν ὀδυρόμεθα τῶν οἰκείων, τῆς κακίας δὲ ἀπέστημεν οὐδαμῶς, ἀλλὰ σκληροὶ καὶ ἀνένδοτοι διαμένοντες καὶ ταῦτ' εἰδότες, ὡς διὰ τὴν ἁμαρτίαν πάντα ἐπήνεκται ἡμῖν, οὐ προστρέχομεν τῇ μετανοίᾳ, οὐδὲ τὰς ἁμαρτίας ἐξομολογήσει καὶ δάκρυσιν ἀπαλείφομεν, οὐδὲ ἀφιστάμεθα τῶν πονηρῶν ἔργων καὶ ἐναρέτου βίου καὶ σώφρονος ποιούμεθα ἀρχήν· ἀλλ' ὁ πόρνος καὶ ἀσελγὴς καὶ τοὺς ἑτέρου γάμους διορύττων ἔτι προσκείμενος τῇ ἀσελγείᾳ οὐκ ἀποτίθεται τὴν ἁμαρτίαν τὴν σωφροσύνην μετιών, καὶ τοῖς ἀτάκτοις ὁρμήμασι τῆς σαρκὸς τὴν νηστείαν χαλινὸν ἐπιτιθείς· ἀλλὰ λόγοις μὲν αἱρεῖται σωφρονεῖν, ἔργοις δὲ τὴν ἀκολασίαν ἐπιστρατεύει ἑαυτῷ μεθύων καὶ ἀδδηφαγῶν καὶ καπηλείοις ἐνδιατρίβων· ὁ κλέπτης μηκέτι κλέπτειν παρὰ τοῦ ἀποστόλου σου διδασκόμενος